A

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΙΡΗΝΗ.

# ARISTOPHANIS IRENA, vel PAX.

*Ex versione Q. Sept. Florentis Christiani.*

Ad quam accesserunt eiusdem obserua- B tiones & castigationes in eadem fabulam.

ΟΙΚΕΤΗΣ, ΕΤΕΡΟΣ ΟΙΚΕΤΗΣ.

ΑἸΡ' αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ.
Ετ. Ἰδού. Οἰ. Δὸς αὐτῷ τῷ κάκιστ' ἀπολουμένῳ.
Ετ. Καὶ μήποτ' αὐτοῦ μᾶζαν ἡδίω φάγοι.
Οἰ. Δὸς μᾶζαν ἑτέραν ἐξ ὀνίδων πεπλασμένην.
Ετ. Ἰδοὺ μάλ' αὖθις. Οἰ. Ποῦ γὰρ ἣν νυνδὴ 'φερες;
Οὐ κατέφαγε; Ετ. Μὰ τὸν Δί', ἀλλ' ἐξαρπάσας
Ὅλην ἐνέκαψε περικυλίσας τοῖν ποδοῖν.
Οἰ. Ἀλλ' ὡς τάχιστα τρίβε πολλὰς καὶ πυκνάς.
Ετ. Ἄνδρες κοπρολόγοι προσλάβεσθε πρὸς θεῶν.
Εἰ μή με βούλεσθ' ἀποπνιγέντα περιιδεῖν.
Οἰ. Ἑτέραν ἑτέραν δὸς παιδὸς ἡταιρηκότος.
Τετριμμένης γάρ φησιν ἐπιθυμεῖν. Ετ. Ἰδού.

VERNA, ALTER VERNA.

*AGE numerò offer huic turundam Cantharo.*
AL. *Ellam.* VE. *Ergo præbe perditè illi pessimo.*
C AL. *Nunquam turundam dulciorem edet quidem.*
*VE. Cedò alteram fictam ex aselli stercore.*
AL. *En rursus.* VE. *An non helluauit alteram*
*Quam modò ferebas?* AL. *Imò per Iouem suis*
*Pedibus reuoluens deuorauit integram.*
VE. *Pleras crebrasque quàm citissimè tere.*
AL. *Vos sterquilinilegæ inuoco, si te adiuui,*
D *Ni strangulandum habetis despicatui.*
VE. *Da consueti pusionis alteram,*
*Nam cupere tritam dicit.* ALT. *Eccillam: ô viri*

Σχόλια. Αἶρ' αἶρε.] ἡ εἴσθεσις τοῦ δράματος ἐξ ἰαμβείων π συνήθων. τὸ μὲν τι ξ μονόμετρον ἀκατάληκτον. ἐπὶ τῇ ἀποθέσει καὶ τῷ τέλει παράγραφος. δύο δέ εἰσιν οἰκέται· ὧν ὁ μὲν, τρέφει τὸν κάνθαρον. ὁ δὲ ἕτερος μάττει. ὁ τρέφων οὖν λέγει τῷ μάττοντι. Μᾶζαν.] μᾶζα κυρίως ἡ τροφὴ, ἡ ἀπὸ γάλακτος καὶ σίτου παρὰ τὸ μάττεσθαι. προσυπακουστέον δέ. καταχρηστικῶς ἐστὶ οὐ τὴν ἐξ ἀλφίτων φυραθεῖσαν, ἀλλὰ τὸ ἀποπάτημα λέγει. πίτυρα δέ τινα ῥυπαρὰ μάττουσιν οἱ οἰκέται. κόπρον γὰρ φυρᾶν, ἀδύνατον.

CHR. Αἶρ' αἶρε μᾶζαν.] Duos inducit famulos vel potius vernas, quorum alter Scarabæo prębet, alter præparat τὰς ὀνίδας pro cibo: proprius enim huic animalculo cibus, stercus est asininum, & inde nomen indeptum est, παρὰ τὸν κάνθωνα, qui asinus, & ὀρὸν vel θορὸν quod est σπέρμα, vnde θορίζειν seminare vel generare, quod Æschulus Amymona dixit θρώσκειν. Nam & nascitur & viuit è stercore, vt meritò κοπρείωνα vocauerit Hippocrates. Est autem insecti genus non grandius Tipulla quam τίφην vel σίλφην faciunt. Dixit αἴρειν pro προσφέρειν, vt & inferiùs. Nam alias contrarium habet sensum, & est ἀφαιρεῖσθαι. Cæterùm qui versum hunc inter prouerbia recensuerunt, næ illi prouerbiorum nomine verba omnia & sententias comprehendunt. Μᾶζαν.] Pinsere solent farinas, quod μάττειν & φυρᾶσαι vocant, vnde μᾶζα quæ propriè offa est vel cibus ex lacte & frugibus, vt offa illa quæ apud Maronem Cerbero paratur. Hesychius farinam vult esse mixtam & subactam aqua & oleo. Galenus in de Alimentis postponit μᾶζαν pani ordeaceo, eámque multum habere πιτυρώδες & κοπρώδες significat, & ab Atheniensibus dictam esse τετρωπὴν, quo modo vocauit Praxagoras Phi-

E lotimi præceptor. Turundam vertendum putaui quæ à terendo dicta, & qua ratione olim merendam & præbendam dicebant: Quod ita etiam visum esse Magno Scaligero in Notis ad Varronem de re Rustica magnopere gaudeo. Sed quòd apud Varronem doctissimus Tornebus rutundam legebat, hic locum fortassis habeat quia rutundæ istæ turundæ. Abusiuè autem vocat μᾶζαν τὸ ἀποπάτημα. Pinsi enim stercus credibile non est.

F Σχόλια. Ὡς τάχιστα.] ἢ τάχος. ἢ διὰ ταχέως. κάνθαρος δὲ εἶδος ζώου παρὰ τὰς τίλφας τὸ μέγεθος. Ἰδού.] παρεπιγραφή. ὁ γὰρ ἕτερος τῶν οἰκετῶν, τὸ προσαχθὲν ποιῶν αὐτῷ παραφέρει καὶ ἐπιδίδουσι τροφήν. Τῷ κάκιστ' ἀπολουμένῳ.] ἀπεχθάνεται τὸν κάνθαρον διὰ τὸ ἅπτεσθαι τῆς κόπρου. Μήποτ' αὐτοῦ μᾶζαν.] πρὸς τὸν μεθυόμενον ἔπαιξεν. οὐ γὰρ ὄντως ἤσθιεν. Ἐξ ὀνίδων.] ὡς ἐπιτηδες γὰρ πεπλασμένως εἰσάγεται τὰ τῶν ὄνων ἀποπατήματα.

Bisetus. Σ. ὀνίδες, τὰ τῶν ὄνων ἀποπατήματα. ὀνιδία ἐστὶ, τοῦ ἵππου τὸ ἀφόδευμα.

G Σχόλια. Ἣν νυνδ' ἤφερες.] οὕτως Ἀττικοὶ ἀντὶ τοῦ ἀρτίως. ἐν ἐρωτήσει δέ. ἐκείνου γὰρ αἰτήσαντος μᾶζαν ἑτέραν, φησὶν αὐτός. ἣν γὰρ νῦν προσέφερες οὐ κατέφαγεν; ἄλλο δὲ φαγεῖν. καὶ ἄλλο καταφαγεῖν. φαγεῖν μὲν γὰρ τὸ τάξει. καταφαγεῖν ἐστὶ, τὸ ἀθρόως. τὸ οὖν ἀδηφάγον τοῦ ζώου δεικνὺς λέγει. Περικυλήσας.] περιειλήσας καὶ περισυρί-